UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XII. De terrae motu, qui contigit Antiochiae, trecentis & quadraginta septem annis post illum, qui temporibus Trajani contigerat.

**urn:nbn:de:hbz:466:1-14162**

Visual Library

Ἰσραηλιτικοῦ λαοῦ. πάντα τὸν ὑπὸ τὴν σὴν ὁσιότητα εὐλαβῆ κλῆρον, καὶ τὸν εὐλογημένον καὶ πιστότατον λαόν, ἐξ ἐμοῦ προσειπεῖν παρακλήθητι.

A Israelitarum. Universum religiosum Clerum, qui sub tua est sanctitate, & benedictam ac fidelissimam plebem meo nomine salutes velim.

---

## Κεφ. ια΄.

Περὶ τῆς ἐξορίας Τιμοθέου τοῦ Αἰλούρου, καὶ τῆς χειροτονίας Τιμοθέου Σαλοφακιόλου, καὶ περὶ Γενναδίου καὶ Ἀκακίου τῶν Κωνσταντινουπολιτῶν.

Ἐπὶ τούτοις Τιμόθεος ἐξορίαν κατακρίνεται, κελευσθεὶς καὶ αὐτὸς τὴν Γαγγρηνῶν οἰκεῖν. οἱ δ' οὖν τῆς Ἀλεξανδρέων, διάδοχον Προτερίου Τιμόθεον ἐπίσκοπον ἕτερον προχειρίζονται· ὃν οἱ μὲν ἐκάλουν Βασιλικόν, οἱ δὲ Σαλοφακίαλον. Ἀνατολίου δὲ τελευτήσαντος, τὸν θρόνον τῆς βασιλευούσης διαδέχεται Γεννάδιος. καὶ μετ' αὐτὸν Ἀκάκιος, ὃς τοῦ καταγωγίου τῶν ὀρφανῶν προεστήκει κατὰ τὴν βασιλεύουσαν πόλιν.

## Cap. XI.

*De Exilio Timothei Æluri & de ordinatione Timothei Salofacioli. Item de Gennadio & Acacio Constantinopolitanis Episcopis.*

Post hæc Timotheus damnatur exilio, & in Gangrensium civitate perinde ac Dioscorus, jussus est degere. B Igitur Alexandrini alterum Timotheum, Proterii successorem elegerunt: quem alii quidem Basilicum, alii verò Salofaciolum nominabant. Interim mortuo Anatolio, Episcopatum urbis regiæ sortitus est Gennadius; cui successit Acacius, qui orphanorum hospitio præfectus fuerat.

---

## Κεφ. ιβ΄.

Περὶ τοῦ γεγονότος ἐν Ἀντιοχείᾳ σεισμοῦ μετὰ ἔτη τριακόσια μζ΄, τοῦ κατὰ Τραϊανόν.

Ἀνὰ δὲ τὸ δεύτερον ἔτος Λέοντος τῆς βασιλείας, κλόνος τῆς γῆς ἐξαίσιος καὶ βρασμὸς ἀνὰ τὴν Ἀντιόχου γίνεται, τινῶν μὲν παρὰ τοῦ κατ' αὐτὴν δήμου προγεγενημένων, πρὸς πᾶσαν ἐκβακχευθέντων μανίαν, πάσης τε θηριώδους ἐπέκεινα γενομένων γνώμης, ὥσπερ δὲ προοίμιον τοῖς τοιούτοις κακοῖς παρασχομένων. γίνεται γοῦν χαλεπώτατος ἕκτον καὶ πεντακοσιοστὸν ἔτος χρηματιζούσης τῆς πόλεως, περὶ τετάρτην ὥραν τῆς νυκτός, τετάρτην καὶ δεκάτην ἄγοντος ἡμέραν τοῦ Γορπιαίου μηνός, ὃν Σεπτέμβριον Ῥωμαῖοι προσαγορεύουσι, κυρίας ἐπικαταλαβούσης ἡμέρας, ἀνὰ τὴν ἑνδεκάτην ἐπινέμησιν τοῦ κύκλου, ἕκτος τυγχάνειν ἱστορούμενος, ἑπτὰ καὶ τεσσαράκοντα καὶ τριακοσίων διωχηκότων ἐνιαυτῶν, ἐξ ὅτου ὁ κατὰ Τραϊανὸν γέγονεν· ἐκεῖνος μὲν γὰρ ἔννατον καὶ πεντηκοστὸν καὶ ἑκατοστὸν ἀγούσης τῆς πόλεως ἔτος τῆς αὐτονομίας γέγονεν. ὁ δέ γε ἐπὶ Λέοντος, ἕκτον καὶ πεντακοσιοστόν, ὡς τοῖς φιλοπονήσασιν ἐκτέθειται. οὗτος τοίνυν ὁ σεισμὸς τῆς καινῆς τὰς οἰκίας ἁπάσας σχεδὸν καταβέβληκε, πολυανθρώπου ταύτης γεγενημένης, καὶ οὐδὲν ἐχούσης ἔρημον, ἢ ὅλως ἠμελημένον, ἀλλὰ καὶ λίαν ἐξησκημένης τῇ φιλοτι-

## Cap. XII.

*De terræ motu, qui contigit Antiochiæ, trecentis & quadraginta septem annis post illum, qui temporibus Trajani contigerat.*

C Porro anno secundo imperii Leonis, ingens terræ motus ac successio contigit Antiochiæ, cum quædam à populo civitatis illius facta essent, plena furoris ac dementiæ, ipsamque bestiarum feritatem longe superantia. Quæ quidem tantæ cladis velut procemium quoddam extiterunt. Accidit autem ingens hæc calamitas, anno quingentesimo sexto à conditu urbis Antiochiæ, circa horam noctis quartam, die quartodecimo mensis Gorpiæi, quem Romani Septembrem vocant; imminente die Dominico, indictione undecima. Sextus hic ter- D ræ motus accidisse dicitur, trecentis quadraginta & septem annis elapsis ab illo terræ motu, qui Trajani temporibus contigerat. Nam ille quidem terræ motus sub Trajano accidit, anno centesimo & quinquagesimo nono, ex quo civitas libera & sui juris fuerat appellata. Hic autem Leonis Augusti temporibus, contigit año sexto & quingentesimo, ut produnt Scriptores diligentissimi. Porro hic terræ motus universas propemodum ædes subvertit urbis Novæ, quæ quidem incolarum multitudine abundabat, nec ullam partem vacuam habebat aut neglectam: sed magnopere exculta erat atq; ornata, ob

A superiorum Imperatorum magnificentiam, qui se invicem ea in re superare contenderant. Palatii quoque prima & secunda ædes corruit. Reliquæ vero incolumes mansére unà cum vicino balneo: quod cum antea inutile fuisset, hujus calamitatis tempore abluendæ civitati necessario inserviit, ob ruinam videlicet reliquorum balneorum. Eversæ sunt etiam porticus, quæ erant ante palatium, & quod post illas erat Tetrapilum. Ceciderunt etiam turres circi, quæ erant juxta portas, & quædam porticus, quæ ad turres illas ducebant. In veteri autem urbe, domus quidem & porticus ruinæ prorsus expertes fuerunt. B Balneorum vero Trajani, Severi, & Hadriani, exigua pars concussa ac subversa est. Ostracinæ quoque regionis ita dictæ, vicinias quasdam idem terræ motus prostravit, & Nymphæum unà cum porticibus evertit. Quæ quidem singula à Joanne Rhetore diligenter commemorata sunt. Scribit igitur ille, mille auri talenta ab Imperatore civitati remissa esse ex functione tributaria; civibus vero remissas esse pensiones earum ædium, quæ terræ motu prostratæ fuerant. Imperatorem præterea publicorum operum reficiendorum curam suscepisse.

A μίᾳ τῶν βασιλέων πρὸς ἀλλήλους ἁμιλλωμένων. τῶν τε βασιλείων ὁ πρῶτος καὶ δεύτερος οἶκος κατεβλήθησαν, τῶν ἄλλων σὺν τῷ παρακειμένῳ βαλανείῳ μεινάντων, τῷ γε καὶ λύσαντι τὴν πόλιν παρὰ τὴν συμφορὰν ἐκ τῆς πρότερον ἀχρηστίας, ἀνάγκῃ τῶν τοῖς ἄλλοις βαλανείοις συμβεβηκότων. κατέρριψε δὲ καὶ τὰς στοὰς τὰς πρὸ τῶν βασιλείων, καὶ τὸ ἐπ' αὐταῖς τετράπυλον, καὶ τοῦ ἱπποδρόμου δὲ τοὺς παρὰ τὰς ἐπ' αὐτοὺς θύρας πύργους, καί τινας τῶν ἐπ' αὐτοὺς στοῶν· κατὰ δὲ τὴν παλαιάν, τῶν μὲν στοῶν ἢ οἰκημάτων B πτῶσις ὅλως οὐκ ἔψαυσε. τῶν δὲ Τραϊανοῦ καὶ Σευήρου καὶ Ἀδριανοῦ βαλανείων, μικρὸν κατασείσας, ἀνέτρεψε. καὶ τῆς γε Ὀστρακίνης οὕτω καλουμένης γειτονίας, τινὰ συγκατέβαλε σὺν ταῖς στοαῖς, καὶ τὸ καλούμενον Νυμφαῖον ῥίψας. ὧν τὸ καθέκαστον περιέργως Ἰωάννῃ ἱστόρηται τῷ ῥήτορι. φησὶ δ' οὖν ὡς χίλια χρυσίου τάλαντα πρὸς τοῦ βασιλέως ἐκ τῶν φόρων ἀφείθη τῇ πόλει, καὶ τοῖς δὲ πολίταις τῶν ἠφανισμένων τῷ πάθει τὰ τέλη· ἐπιμελήσασθαι δὲ τούτων καὶ τῶν δημοσίων οἰκοδομιῶν.

C

## Cap. XIII.

*De incendio, quod accidit Constantinopoli.*

Huic non dissimilis, imo longe gravior calamitas contigit Constantinopoli, initio mali orto in maritima civitatis parte, quam Bosporum vocant. Ajunt autem Dæmonem quendam exitiosum, mulieris speciem ementitum: aut certe pauperculam quandam mulierem à dæmone impulsam, utrumque enim dicitur: circa id tempus quo lu- D cernæ accendi solent, lucernam ad forum rerum venaliũ detulisse, tanquam salsamenta sibi emptura esset: depositaque ibi lucerna, protinus abscessisse. Ignem vero, cum stuppam corripuisset, maximum incendium excitasse, & momento temporis totam domum combussisse: Post hæc adjacentia quæque facilius consumpta esse, cum ignis non ea solum, quæ facile incenduntur, sed ædificia quoque ex lapidibus constructa depasceretur, & usque in quartum diem perseverasset, nec ulla ratione extingui potuisset. Totum igitur civitatis meditullium, à Septen-

## Κεφ. ιγ'.

*Περὶ τοῦ ἐμπρησμοῦ τοῦ ἐν Κωνσταντινουπόλει.*

Συνηνέχθη δὲ τούτοις ὅμοια ἢ καὶ δεινότερα ἀνὰ τὴν Κωνσταντινούπολιν, ἀρχῆς δὲ κακοῦ γινομένης ἐν τῷ παραθαλασσίῳ τῆς πόλεως μέρει, ὅπερ Βοὸς καλοῦσι πόρον. ἱστόρηται δὲ ὡς κατὰ τὰς ἐπιλυχνίους ὥρας δαίμων τις κακοῦργος παλαμναῖος γυναικὶ εἰκασθείς, εἴτε καὶ ταῖς ἀληθείαις γυνὴ χερνῆτις D ὑπὸ δαίμονος οἰστρουμένη, λέγεται γὰρ ἐπ' ἀμφότερα, λύχνον πρὸς παντοπώλιον ἐνεγκεῖν, ὠνησομένη τι τῶν ταριχευομένων· τεθέντος δ' αὖ τοῦ λύχνου τὸ γύναιον ὑπαναχωρῆσαι. τὸ δὲ πῦρ, στυππίου λαβόμενον, φλόγα μεγίστην ἐξᾶραι, λόγου τε θᾶττον ἐμπρῆσαι τὸ οἴκημα· ἐκ τούτου δὲ τὰ παρακείμενα ῥᾴδιον ἀφανισθῆναι, τοῦ πυρὸς ἀμφινεμομένου, οὐ μόνον τὰ εὐέξαπτα, ἀλλὰ καὶ τὰς ἐκ λίθων οἰκοδομάς, καὶ ἄχρι τετάρτης ἡμέρας διαμείναντος, καὶ πᾶσαν ἄμυναν ὑπερβεβηκότος, τὸ μεσαίτατον

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN